## ΡΛΕʹ

### Ἐκ τούτου δὴ προκύπτει αὕτη ἡ πρότασις, φευκταῖαι τῷ Φιλοσόφῳ αἱ πλανώμεναι φωναὶ καὶ ἀόριςοι, καὶ μόναι προσληπτέαι αἱ λέξεις ὅσαι σημασίας ὡρισμένης εἰσί.

Δεικν. Ἐπειδὴ γὰρ ταῖς πλανωμέναις, ἤτοι ἀορίςοις τῶν φωνῶν οὐκ ἀείποτε συμπαρομαρτεῖ Ἀποίκιλος Ἔννοια (ΡΛΔʹ.), φωνὰς ἢ ὅρους προσλαμβάνοντός σου πλανωμένους καὶ Ἀορίςους, ἀκούων τις ἢ ἀναγινώσκων ἀγνοήσει πάντως, τίνα τῇ προσληφθείσῃ φωνῇ βούλει Ἔννοιαν συζευγνύειν, καὶ ἑπομένως μόλις, ἢ οὐδ' ὁπωσοῦν τὴν αὐτήν σοι τῇ φωνῇ Ἔννοιαν συνδυάσει· καὶ οὕτως οὐδὲ συνήσει τὸν νοῦν (ΡΚΕʹ.)· Ἐπεὶ δὲ εἰς κατάληψιν τῶν ἄλλων ταῖς λέξεσι χρώμεθα (ΡΚϛʹ.)· Ἕπεται ἤδη τὸ ἐξ ἀρχῆς, ὅτι φευκτέαι τῷ Φιλοσόφῳ αἱ πλανώμεναι φωναὶ καὶ ἀόριςοι, καὶ μόναι προσληπτέαι αἱ λέξεις ὅσαι σημασίας ὡρισμένης εἰσί.

„ Παρὰ τὴν προφυλακὴν ταύτην πολλάκις ἁμαρτάνεσθαι ἤκουθεν, ὅτω περ. γάρ. οἱ ὁριζό-
„ μενοι τὴν Φιλοσοφίαν, γνῶσιν ἤτοι θείων ϗ ἀνθρωπίνων πραγμάτων, λέξει ἀορίςῳ
„ τῇ τῆς γνώσεως χρώμενοι, τὸν ἀναγινώσκοντα, ἢ ἀκούοντα ἀσαφείᾳ ἐναπολιμπάνουσιν·
„ Εἰ γὰρ ἄν τις ζητήσειεν ὁποία τις ἐνταῦθα ἐννοοῖτο γνῶσις, ἆρα Ἱςορική, ἢ
„ Φιλοσοφική, ἢ ἔτι Μαθηματική; ϗ πότερον βεβαία, ἢ πιθανή; οὐκ ἕξει ἀποκρί-
„ νασθαι ὁ ἀναγνούς, ἢ ἀκούσας. Οὐδὲ γὰρ οἶδεν ἀκριβῶς ὁποία τις ἐννοοῖτο γνῶσις
„ διὰ ταυτησὶ τῆς φωνῆς. Ὀρθότερον οὖν ἡ τῆς ἐπιςήμης ὡρισμένη προσλαμβάνεται
„ λέξις, βεβαίαν ἕξιν τοῦ δεικνύναι σημαίνουσα.

## ΡΛϛʹ.

### Ἀποῤῥαπιςέοι τοιγαροῦν τῶν τῆς Φιλοσοφίας σχολῶν τῶν ὅρων ὅσοι ὁμώνυμοι.

Δεικν. Ἐπεὶ γὰρ οἱ ὁμώνυμοι ὅροι, φωναὶ εἰσὶ διαφόρῳ σημασίᾳ πλείοσιν ἀπονεμόμεναι πράγμασιν, εὔδηλον, ὅτι εἰ αὐτοὶ πλανώμενοι εἰσὶ καὶ ἀόριςοι (ΡΛΔʹ.)· Ἐπεὶ δὲ ἔτι οἱ πλανώμενοι καὶ ἀόριςοι ὅροι οὐδαμοῦ ὀφεί-

ὀφείλυσι προσλαμβάνεσθαι (ΡΛΕ.)· Ἐξοριςέοι ἄρα τῶν τῆς Φιλοσοφίας σχολῶν, τῶν ὅρων ὅσοι ὁμώνυμοι.

,, Οἱ ὁμώνυμοι ὅροι τοῖς μονωνύμοις ἀντίκεινται, εἰσὶ δὲ τοιῦτοι μονώνυμοι, ὅσοι περ ὡ-
,, ρισμένην ἔχοντες σημασίαν, Ἔννοιαν Ἀποίκιλον ἀεὶ ὡσαύτως σημαίνυσι (ΡΛΔ)
,, ὡς ὁ ὅρος ἀήρ· τὸν ὅρον δὴ τῦτον οἱ ἀρχαῖοι μονώνυμον ἀπεκάλυν μονωνυμῦντα, τὸ
,, δὲ δι' αὐτῦ σημαινόμενον μονώνυμον μονωνυμητόν. Τὸν αὐτὸν τρόπον ἐκαλῦντο παρ'
,, ἐκείνοις, ὁμώνυμοι ὁμωνυμῦντες, ὅσοι τῶν ὅρων ὁμώνυμοι, καὶ ὁμώνυμα ὁμωνυμωτὰ
,, ὡσαύτως τὰ δι' αὐτῶν σημαινόμενα. Προσετίθεν δ' ἔτι ὅρον ἀνάλογον, ὅς περ ἔφα-
,, σκον τὸν μέσον ἐπέχειν τόπον μεταξὺ τῦ μονωνύμυ καὶ ὁμωνύμυ, διαιρῦντες εἰς Ἀνά-
,, λογον κατ' ἀναλογίαν, καὶ Ἀνάλογον κατ' ἀπόδοσιν. Τὸ μὲν ὁπηνίκα γενικόν τε
,, ὄνομα ἀνῆκον πρώτῳ τινὶ δι' ὁμοιότητα τινὰ, ἀποδίδοται καὶ ἑτέρῳ, οὕτως ὁ ὅρος
,, γελᾶν ἀνάλογον ἐςὶν κατ' ἀπόδοσιν. Κυρίως γὰρ καὶ πρώτως τὸ γελᾶν τῷ ἀνθρώ-
,, πῳ ἀνήκει· καταχρηςικῶς δὲ καὶ δευτέρως τοῖς τε λειμῶσι καὶ τῇ γαληνιαίᾳ τῦ χρόνυ
,, ἀποδίδοται ὥρᾳ. Τὸ δ' ὅτε τῦ ὀνόματος ὄντος κοινῦ, ὁ κατὰ τ' ὄνομα δὲ λόγος ὑπάρ-
,, χει διάφορος· Οὕτως ὁ ὅρος ὑγιεινὸν πρώτῳ μὲν ἀνήκει τῷ ζώῳ, δεύτερον δὲ καὶ ἄλλοις
,, κατὰ λόγον, ἀλλ' ἦν διάφορον. Ἐπὶ τύτοις ἐνταῦθα ὁ παρώνυμος ὅρος ἔπεισι. Πα-
,, ρώνυμα δὲ οἱ ἀρχαῖοι τῶν λογικευομένων ὁρίζονται, ὅσα ἀπό τινος διαφέροντα τῇ
,, πτώσει τὴν προσηγορίαν ἔχει, οἷον ἀπὸ τῆς εὐσεβείας ὁ εὐσεβής. Τὰ τρία δὴ ταῦ-
,, τα τῶν περὶ ὅρων λεγομένων παρὰ τοῖς ἀρχαίοις, τὴν πρὸ τῶν κατηγοριῶν παρ'
,, αὐτοῖς καλυμένην διδασκαλίαν συνίςησιν. Ἐν ἑτέρᾳ δὲ κλάσει οἱ καθόλυ καὶ μερικοὶ
,, τῶν ὅρων εὑρίσκονται· καὶ ὅρος καθόλυ ἐςὶν ὁ καθόλυ Ἔννοιαν παριςῶν (ΡΗ.) οἷον
,, ἄνθρωπος, ζῶον, ὅςις καὶ κοινὸς ὅρος προσαγορεύεται. Μερικὸς δὲ ὅρος ἐςὶν ὁ Ἔννοιαν
,, παριςῶν μερικὴν (ἀτομικὴν) (ΡΗ.) οἷον ὁ Πέτρος, ὁ Καῖος κτλ. Αὕτη δὲ ἡ τῶν ὅρων
,, κλάσις τὴν τῶν κατηγορυμένων διδασκαλίαν παρὰ τοῖς ἀρχαίοις συνίςησιν. Ἐν τῇ
,, Γ'. τελευταίον κλάσει τὰς κατηγορηματικὰς καὶ ὑπερβεβηκότας ὅρυς οἱ πάλαι τιθέα-
,, σιν. Ἐννοίας δὲ οἱ κατηγορηματικοὶ περιέχυσι τὰς τῆς ὐσίας, τῆς ποσότητος, τῆς
,, ποιότητος, τῆς σχέσεως, τῆς ποιήσεως, τῆς παθήσεως, τῦ τόπυ, τῦ χρόνυ, τῆς
,, θέσεως καὶ τῆς ἕξεως. Περὶ ὧν ἁπάντων, ἔτι δὲ καὶ τῶν μετὰ τὰς κατηγορίας
,, πλέον ἐν τῇ ἀναπτύξει διαλήψομαι.

## ΡΛΖ'.

Συνωνυμία μὲν ἡ αὐτὴ τῶν ὅρων λέγεται σημασία· οἱ δὲ τὴν αὐτὴν ἔχοντες σημασίαν ὅροι, Συνώνυμα, εἴτ' ὖν συνωνυμικοὶ ὅροι καλῦνται.

,, Οἷον ξίφος, φάσγανον, ἓν καὶ τὸ αὐτὸ σημαίνοντα ὄργανον, Συνώνυμα εἰσὶν, ἢ συνω-
,, νυμικοὶ ὅροι.

## ΡΛΗ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Λ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΡΛΗ'.

Κυρίως ὁ ὅρος λαμβάνεσθαι λέγεται, ἐν ὅσῳ αὐτῷ ἡ Ε'ννοια ἀποδίδοται, ἣν ἐνδεικνύειν ἀφώρισαι. Η' δ' Ε'ννοια, καθ' ἣν τὸ ὃ σημαίνειν ὅρος τις ἀφώρισαι πρᾶγμα ἡμῖν ὑποβάλλεται, Κυρίαν σημασίαν καθίςησι.

„ Παρ. χάρ. ὁ τῦ ποταμῦ ὅρος κυρίως λαμβάνεσθαι λέγεται, ἐν ὅσω τῷ ὅρῳ τύτῳ „ ὕδωρ σημαίνεται, τὸ ἐν τῷ κύτει ἐπὶ τὰ ἄνω ἀνεωγμένῳ ἰδίᾳ καταῤῥέον βαρύτητι. „ Καὶ ἡ τῦ ποταμῦ σημασία κυρία ἐςὶν, ἐὰν διὰ τῆς τῦ ποταμῦ φωνῆς ἡ Ε'ννοια ἀνεγείρεταί σοι, καθ' ἣν ὕδωρ ἐννοεῖς ἐν τῷ κύτει ἐπὶ τὰ ἄνω ἀνεωγμένῳ ἰδίᾳ καταῤ„ ῥέον βαρύτητι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΡΛΘ'.

Ε'ντεῦθεν κατανοεῖν ἕξεσιν, ὡς ἡ φωνῆς τινὸς σημασία καταχρηςικὴ ἐςὶν, ἡνίκα ἀπὸ τῆς κυρίας σημασίας ἐπὶ τὸ σημαίνειν ἕτερον μεταφέρεται, ᾧπερ ἕτερος ὅρος ἀνήκει κύριος, καὶ τῦτο διά τινα ἐν ἀμφοτέροις τοῖς πράγμασιν ὁμοιότητα. Ο' δὲ τοιῦτος ὅρος καταχρηςικῶς λαμβάνεσθαι λέγεται, καὶ Μεταφορικὸς καλεῖται.

„ Ε'ὰν παρ. χάρ. τὸν τῦ ποταμῦ ὅρον μεταφέρῃς ἐπὶ τὸν λόγον, ὥςε λέγειν τὸν λόγον „ ποταμὸν, ἡ φωνὴ ποταμὸς καταχρηςικῶς ἐκλαμβάνεται.

## ΡΜ'.

Ο'τι περ ἦν αἱ καταχρηςικαὶ φωναὶ ἐπὶ τὺς πλανωμένυς καὶ ἀορίςυς ὅρυς ἀνάγονται, προφανὲς ἐκ τῶν εἰρημένων (ΡΛΔ'. καὶ ΡΛΘ'.)

## ΡΜΑ'.

### Φυλακτέον τοιγαρῦν τῷ Φιλοσόφῳ ἵνα μὴ ὅροις καταχρηςικοῖς ϗ μεταφορικοῖς χρῷτο ἐν τῇ τῶν τῆς Ψυχῆς νοημάτων διερμηνεύσει.

**Δείκν.** Ε'πείπερ ὅρων Πλανωμένων καὶ Α'ορίςων ἀφεκτέον εἶναι, εἰκότως οἴεται ὁ Φιλόσοφος (ΡΑΕ'.)· αἱ δὲ Καταχρηςικαὶ καὶ Μεταφορικαὶ τῶν φω-

Ε. Ατρίδης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φωνῶν ἐπὶ τὲς Ηλαιωμένες καὶ Α᾽ορίςης ὅρες ἀνάγονται (ΡΜ΄.)· δῆλον ὅτι ἐ προςήκει τῷ Φιλοσόφῳ Καταχρηςικοῖς καὶ Α᾽ορίςοις χρῆσθαι λέξεσι. (Τὸ δ᾽ αὐτὸ καὶ ἔτω δυνατὸν δεῖξαι.)

Τὲς ὅρες εἰς τὴν τῶν ἑτέρων κατάληψιν προσλαμβάνομεν (ΡΚϛ΄.)· εἰ δέγε φωνὰς καταχρηςικὰς προσλαμβάνομεν, τότε δὴ τοιαύτας προσλαμβάνομεν φωνὰς, ὑφ᾽ ἃς πλείες ἅμα ἐν αὐταῖς λανθάνησιν Ε῎ννοιαι ἦτε Κυρία δηλαδὴ καὶ Καταχρηςική· καὶ ἔτω συμβήσεται ἐάν ποτε τύχῃς φωναῖς χρώμενος καταχρηςικαῖς Ε῎ννοιαν κυρίαν ταῖς σαῖς δὴ ταύταις φωναῖς συζευγνύειν ἑτέρον, καίτοιγε τοῖς αὐτοῖς μὴ κυρίαν συζευγνύντός σε, ἐκ ἄρα τὴν αὐτὴν τῇ φωνῇ συνάψεται Ε῎ννοιαν, ἥνπερ κ᾽αὐτὸς τῇ αὐτῇ ἀξιοῖς συζευγνύειν, καὶ ἑπομένως τὸν σὸν νῦν ἐ ξυνήσει (ΡΚΕ΄.)

„ *Τοῖς Ρ῾ήτορσι παραλείπομεν τὴν τῶν λόγων μεταφορὰν, τὰς τῶν ἀκόντων Ψυχὰς*
„ *τοῖς αὐτῶν σχήμασι καὶ τρόποις ἀποδεχόμενοι αὐτὴς καταθέλγοντας. Ο῾ δὲ Φιλό-*
„ *σοφος βεβαίας τὰς ἀληθείας παραδιδὲς ἀπὸ πάντων τῶν ἐν τοῖς λόγοις θελγή-*
„ *τρων φιλοτιμότερον ἀναζητημένων ἀφίςαται. Ο῾ρα Βεργέρον ἐν τῷ πρὸ τῆς δια-*
„ *λέξεως αὐτῷ Προοιμίῳ περὶ κυρίε γένης τῷ λέγειν. Ο῾σον περ τῇ τῶν ἀληθειῶν, καὶ*
„ *τῆς παιδείας αὐξήσει ἡ ὑπεράγαν τῷ μεταφορικῶς λέγειν σπεδὴ εἰς ἀεὶ ἀντίκειται,*
„ *σοφῶς ἐκτίθησιν ὁ περίδοξος Γοτσχέδιος Φιλόσοφος ἐκ Λειψίας, ἐν τῇ διαλέξει πε-*
„ *ρὶ τῆς πηγῆς τῶν ἀνθρωπίνων κακιῶν Σελ. 8. Λειψ. 1724*

## ΡΜΒ΄.

Ο῞ρος ἡμῖν οἰκεῖος καλεῖται, ὅνπερ ξυνίεμεν, κ᾽ἂν μὴ ἐπὶ τὴν αὐτῷ σημαινομένην Ε῎ννοιαν τὸν νῦν ἐπιτρέψωμεν.

„ *Τοιῦτοι εἰσὶν οἱ τῇ ὁσημέραι κοινῇ λόγῳ, ἐν χρήσει ὄντες παρ᾽ ἡμῖν ὅροι, τέτες γὰρ*
„ *διὰ χρήσεως πολυχρονίε διώκομεν, - τὸ Ι᾽δέας τινὰς ὡρισμένας μὴ δὲ διαλογιζομένοις*
„ *ἡμῖν κατὰ νῦν ἀνεγάρεσθαι, ἀκεσθέντων τῶν ὀνομάτων. Οὕτω παρ. χάρ. ὁ ὅρος γαλάντ*
„ *(καθαρὸς) οὕτως οἰκεῖος ἐγένετο τοῖς πολλοῖς, ὥςε πολλάκις χρωμένες αὐτῷ, καὶ Ε῎ννοιάν*
„ *τινα τῷ αὐτῷ συζευγνύειν· ἀλλ᾽ ἀσαφῆ πάντως, ὥςε μηδ᾽ αὐτὲς εἰδέναι τὴν τῷ ὅρῳ*
„ *τέτῳ συζευγνυμένην Ε῎ννοιαν, καὶ ἄλλοις ἐκφαίνειν.*

## ΡΜΓ΄.

Ε᾽κ τέτων ὑπολαβεῖν ἔξεςιν τί ποτ᾽ ἐςὶν ἡ χρῆσις τῷ λέγειν, ἡ ἰδιοποίησις ἀμέλει ὅρων οἰκείων (ΡΜΒ΄.) καὶ κυρίως λαμβανομένων (ΡΚΗ΄.)

τὴν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΗΜ. ΚΑΙ ΙΩΑΝΝΙΝΑ 2006

τὴν χρῆσιν τȣ̃ λέγειν καθίςησιν. Ἔνθεν τοι ἡ χρῆσις τȣ̃ λέγειν ὀρθῶς ὁρίζεται, Κυρία σημασία τῶν ἐν τῷ κοινῷ λόγῳ λέξεων.

„ Παρ. χάρ. ἐν τῷ κοινῷ λόγῳ ἡ φωνὴ τȣ̃ φωτὸς λαμβάνεται ἀντὶ παντὸς τȣ̃ τὰ περικείμενα σώματα διακρίνειν ποιȣ̃ντος (ΠΕ΄.)· Ἡ χρῆσις ȣ̃ν τȣ̃ λέγειν ἀπαιτεῖ τῇ τȣ̃ φωτὸς φωνῇ Ἔννοιαν ἀποδίδοσθαι παριςᾶσαν τὸ δι' ȣ̃ τὰ περικείμενα σώματα διακρίνονται.

## ΡΜΔ΄:

Τὴν χρῆσιν ȣ̃ν διασώζει τȣ̃ λέγειν ὁ ταῖς φωναῖς συνάπτων Ἐννοίας, δι' ὧν παρίςανται τὰ διὰ τῶν φωνῶν ἐν τῷ κοινῷ λόγῳ διακείμενα.

„ Τὴν χρῆσιν τȣ̃ λέγειν εἰς Πολιτικὴν ϗ Τεχνικὴν οἱ Φιλόσοφοι διαιρȣ̃σι. Ἡ μὲν ἐςὶν, ἡνίκα φωνὰς ἐν τῷ κοινῷ λόγῳ πρὸς συναλλάγματα ϗ τȣ̃ βίȣ χρήσεις προσλαμβάνȣσιν Ἄνθρωποι πρὸς ἀλλήλȣς κοινωνίᾳ συνεζευγμένοι. Ἡ δὲ, ὁπότε λέξεις προσλαμβάνȣσιν ἐν ταῖς ἐπιςήμαις ϗ Τέχναις πρὸς τῷ τοῖς ἄλλοις τὰς Ἐννοίας μεταδιδόναι.

## ΡΜΕ΄.

Ὁ Φιλόσοφος ἐν τῇ τῶν ὅρων προσλήψει ἀέποτε ὀφείλει ἀφορᾷν εἰς τὴν χρῆσιν τȣ̃ λέγειν, ἀπὸ τῆς ἀναληφθείσης τῶν φωνῶν σημασίας μὴ ἀποπίπτων.

Δείκν. Ἐπεὶ γὰρ αἱ φωναὶ τῷ Φιλοσόφῳ προσληπτέαι εἰσὶν ὡς ἂν ἐννοοῖτο ὑπὸ τῶν ἄλλων (ΡΚΕ.)· ῥᾷςα κατανοεῖς, ὅτι περ ὅρȣς προσλαμβάνειν χρεὼν τȣ̀ς τῷ κοινῷ λόγῳ ἀναληφθέντας. (ἄλλως γὰρ τὰ παρ' ἐκείνȣ λεγόμενα ȣ̓κ ἐννοηθείη) ἔτι, ἐπείπερ ὁ Φιλόσοφος καταχρηςικῶν καὶ Μεταφορικῶν φωνῶν ἀπέχειν (ΡΜΑ΄.), ϗ ἑπομένως ὅροις χρῆσθαι τοῖς κυρίως εἰλημμένοις ὀφείλει, κατανοεῖται ὅτι ὁ Φιλόσοφος ἐν τῇ τῶν ὅρων προσλήψει εἰς τὴν τȣ̃ λέγειν χρῆσιν ἀτενίζειν ὀφείλει· ἡ γὰρ τȣ̃ λέγειν χρῆσις ἀποτελεῖται τῇ ἐν τῷ κοινῷ λόγῳ κυρίᾳ τῶν φωνῶν σημασίᾳ (ΡΜΓ.)

„ Παρ. χάρ. Ἐὰν ὁ Φιλόσοφος τὴν τȣ̃ ἐκτεταμένȣ φωνὴν διορίσηται, ὥςε δι' αὐτῆς ἐννοεῖν πᾶν ὅ, τι ὅροις τισὶ περιγέγραπται ϗ πεπερασμένον ἐςὶ τῆς τȣ̃ λέγειν

„ Χρή-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α της Ε.Τ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

,, χρήσεως ἐκτὸς ἀνάγκης ἀποχωρήσῃ· εἰδέ τις ἐθέλοι ἐπιζητεῖν τὴν τῆς φωνῆς σημα-
,, σίαν, ἥν περ αὐτῇ ἡ τοῦ λέγειν ἀποδίδωσι χρῆσις, τὰς ποικίλας περιςάσεις, ἐν
,, αἷς περ τῇ φωνῇ ταύτῃ χρώμεθα, λογιζέσθω. Οὕτω παρ. χάρ. τὴν σημασίαν τῆς
,, φωνῆς τοῦ λόγου, ἣν αὐτῇ ἡ τοῦ λέγειν ἀποδίδωσι χρῆσις, ἐπιζητοῦντί σοι προ-
,, σεκτέον ἐπὶ τὰς περιςάσεις, αἷς τὸν λόγον παρεῖναι φαμὲν, κἀπὶ τὰς ἀντικειμένας
,, ἀσαύτως, ὅσαις παρεῖναι τὸν λόγον ἀρνήμεθα, ὡς ἂν γένοιτο δῆλον, τίνα ποτ'
,, ἐςὶ, δι' ἃ τὸν λόγον παρεῖναι ἐπικυροῦμεν. Ἐπεὶ δὲ τὸ παρεῖναι τὸν λόγον γινώσκειν
,, ἔχομεν ἐκ τοῦ συμπλέκειν τὰ ἐσόμενα τοῖς παροῦσι, καὶ τῶν ἡμετέρων ἐνεργειῶν καὶ
,, προτάσεων τὰς συνεπείας δύνασθαι διορᾷν, τοῦτον δὲ μηδέπω παρεῖναι διαβεβαιούμεθα,
,, τῶν παρόντων μόνων, καὶ τῶν ἐν ποσὶ θεωρουμένων· προφανὲς, ὅτι διὰ τῆς τοῦ λόγου
,, φωνῆς κατὰ τὴν χρῆσιν τοῦ λέγειν τοιαύτη σημαίνεται τελειότης, ἡ δύναμις τοῦ ἡμε-
,, τέρου νοὸς, δι' ἧς περ τὰς συνεπείας τῶν πραγμάτων δυνάμεθα διορᾷν.

# ΡΜϛ'.

## Ἡ πλειόνων ὅρων σύζευξις λόγον ἀποτελεῖ.

,, Ἐν τῷ τέλει πλάνης τινὰς τοῦ ὅρου λήψεως καὶ διαιρέσεις τῶν Ἀριςοτελικῶν σημειώσομεν,
,, ἵνα μὴ ἄμοιροι κἀυτοὶ ἐκείνων ὦμεν. Α'. Διαιροῦσιν οὖν ἐκεῖνοι τὸν ὅρον εἰς Κατηγορη-
,, ματικὸν, καὶ Συγκατηγορηματικόν· καὶ Κατηγορηματικὸς μὲν ἐςιν ὁ τὸ
,, τῆς προτάσεως ὑποκείμενον, ἢ κατηγορούμενον καθ' ἑαυτὸν συνιςᾷν δυνάμενος, ἄνευ
,, ἀναγκαίας ἑτέρου συζεύξεως, οἷον Ἄνθρωπος, μανθάνει. Συγκατηγορηματι-
,, κὸς δὲ ὁ ἐξ ἀνάγκης ἑτέρῳ συζεύγνυσθαι ὅρῳ ὀφείλων εἰς ὑποκειμένου, ἢ κατη-
,, γορουμένου συμπλήρωσιν. Τοιοῦτοι δέ εἰσιν ὅροι, τῶν ὀνομάτων ὅσα Ἐπίθετα, τὰ
Ἐπιῤῥήματα, αἱ Προθέσεις, οἱ Σύνδεσμοι, καὶ πᾶσα πλαγία πτῶσις·
,, οἷον λίαν, ἀγαθὸς, πρὸς, συγκατηγορηματικοὶ εἰσὶν ὅροι.
,, Προςιθέασι δέ τινες, καὶ τὸν οὖν φασὶν Ὅρον Μικτὸν, οἷον, Οὐδεὶς, τουτέςιν Οὐδεὶς
,, Ἄνθρωπος, Οὐδὲν, τουτέςιν Οὐδὲν πρᾶγμα. Β'. Διαιρεῖται ὁ ὅρος εἰς Συμπε-
,, πλεγμένον, καὶ μὴ Συμπεπλεγμένον. Ὅρος μὴ Συμπεπλεγμένος, (ὃς
,, καὶ Ἀπλοῦς λέγεται) ἐςὶν ὁ μιᾷ φωνῇ συνιςάμενος, οἷον Ἄνθρωπος. Συμπεπλε-
,, γμένος δὲ, ὁ πλάοσιν, ἢ μιᾷ φωνῇ συνιςάμενος· οἷον λίθος θερμός. Γ'. Διαιρεῖ-
,, ται ὁ ὅρος εἰς Ὡρισμένον καὶ Ἀόριςον. Καὶ Ὡρισμένος μὲν ἐςὶν, ὁ ὡρισμέ-
,, νον τι σημαίνων, μηδεμιᾶς ἐκτιθεμένης ἀρνήσεως, οἷον Ἄνθρωπος. Ἀόριςος
,, δὲ ὁ ἀορίςως σημαίνων τι, οἷον Οὐκ Ἄνθρωπος. Δ'. Διαιρεῖται εἰς
,, Ἀπολελυμένον, καὶ Συγκριτικόν· Συγκριτικὸς μέν ἐςιν ὁ πα-
,, ριςῶν Ἔννοιαν χωρὶς ἀναφορᾶς πρὸς ἑτέραν ἰδέαν μὴ νοητήν. Οὕτως ἐὰν
,, εἴπω, ὁ Γολιὰθ ἐςὶ μείζων, κατ' ἀναφορὰν ἀμέλει τοῦ Δαβὶδ, οὐκ ἂν ἐννοῆ-
,, σαι δυναίμην, ὅπως ὁ Γολιὰθ μείζων λέγοιτο, εἰμὴ ἅμα παραςήσω ἐμαυτῷ τὸν



,, Δα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΣΙΟΣ
Ε. ΚΑ τ.τ. Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Δαβὶδ, ἢ ἕτερόν τινα, ἢ κατὰ ἀναφορὰν ἐκεῖνος καλεῖται Μήζων. Ἀπολελυ-
„ μένος δὲ ὃν δυνάμεθα νοῆσαι χωρὶς ἀναφορᾶς τῆς πρὸ ἕτερον, οἷον Ἄνθρω-
„ πος. Ε΄. Διαιρεῖται εἰς Ἀφῃρημένον καὶ Συγκεκριμένον. Ἀφῃρημένος
„ μὲν, ὁ διάθεσίν τινα ἄνευ ὑποκειμένου σημαίνων, οἷον Εὐσέβεια. Συγκεκρι-
„ μένος δ᾽ ἐςὶν, ὁ τὴν διάθεσιν, καὶ τὸ ὑποκείμενον, ᾧ περ αὕτη ἀνήκει, ἅμα σημαίνων,
„ οἷον Εὐσεβής. ς΄. Διαιρεῖται ὁ ὅρος εἰς τὸν ὑλικῶς λαμβανόμενον, καὶ εἰς τὸν
„ Εἰδικῶς. Ἐπειδ᾽ ὅτε γὰρ λαμβάνεται ὅρος τις ἀντὶ τῶν γραμμάτων καὶ τῶν συλ-
„ λαβῶν ἐξ ὧν σύγκειται, ὥςε προτίθεσθαι τούτῳ, αὕτη ἡ φωνὴ, αὕτη ἡ λέξις.
Ταύτην δὲ τὴν τοῦ ὅρου λῆψιν, Ὑλικὴν ὑπόθεσιν οἱ ἀρχαῖοι καλοῦσι. Παρ.
„ χάρ. Ἐὰν εἴποις, ἡ Ἀρετὴ ἐςὶ γένους Θηλυκοῦ, ἢ ἡ ἀρετὴ τρισυλλαβεῖ ἐςι, τότε
„ δὴ ἡ φωνὴ Ἀρετὴ, ἐν Ὑλικῇ Ὑποθέσει λαμβάνεται. Εἰδικῶς δὲ ὁ ὅρος
„ λαμβάνεται ἀντὶ Ἰδέας τινὸς ἢ Ἐννοίας τῆς αὐτῷ σημαινομένης θεωρούμενος, ὡς ὅταν
„ εἴπω, φέρ᾽ εἰπεῖν, ἡ Ἀρετὴ, ἐςὶν ἕξις, ἡ Ἀρετὴ ἡμᾶς εὐδαίμονας ἀπεργάζε-
„ ται, τότε δὴ ὁ ὅρος Ἀρετὴ, ἐν εἰδικῇ ὑποθέσει λαμβάνεται.
„ Τὰς λοιπὰς διαιρέσεις, ἢ μικρόν τι συμβαλλούσας, ἢ ἐξ αὐτῶν τῶν λέξεων ῥᾶςα
„ νοηθησομένας, ἢ διὰ συνεχεςέρας χρήσεως γινωσκομένας, ἢ ἐν τοῖς ἀνωτέρω ἐκ-
„ τεθειμένας, ἀποσιωπῶμεν ἐνταῦθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑ'ΛΑΙΟΝ Ι'.

ΠΕΡΙ'

## Ο' Ρ Ι Σ Μ Ω͂ Ν

## ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΜΖ'.

Ο'ρισμός ἐςιν Ε'ννοια τȣ͂ πράγματος διακεκριμμένη συμπλήρης λόγῳ ἐκφαινομένη· ὁ Ο'ρος εἴτην τὸ ὁριζόμενον πρᾶγμα λέγεται Ο'ρ ι ς ό ν.

„ Μέχρι τȣ͂δε διείληπται περὶ Ι'δεῶν. Κεφ. Α'. ὡσαύτως καὶ περὶ σημείων τῶν Ι'δεῶν,
„ ἤτοι τῶν ὅρων Κεφ. Β'. Ε'πειδὴ ἡ συμπλήρης Ι'δέα ὅροις ἐκφαινομένη, Ο'ρ ι σ-
„ μ ὸ ς καλεῖται, κατανοεῖται, ὅτι Ο ἰ κ ε ι ό τ α τ α τῇ π ε ρ ὶ Ι'δ ε ῶ ν ὡσαύτως ϗ πε-
„ ρὶ ὅρων διδασκαλίᾳ ἡ περὶ Ο'ρισμῶν ὑποζεύγνυται.

## ΡΜΗ'.

### Ε'κ τȣ͂ ὁρισμȣ͂ τȣ͂ Ο'ρισμȣ͂ δῆλον ἐν τῷ Ο'ρισμῷ ὀφείλειν ἐπαριθμεῖσθαι γνωρίσματα χαρακτηριςικὰ ἀπὸ τῶν ἄλλων πραγμάτων διαζευγνῦντα τὸ ὁριςόν.

Δείκν. Ε'πειδὴ γὰρ ὁ ὁρισμός ἐςιν Ι'δέα διακεκριμένη τȣ͂ ὁριςȣ͂ λόγῳ ἐκφαινομένη (ΡΜΖ'.), τότε δὲ διακεκριμένη ἐςὶν ἡ Ι'δέα, ὅτε καταριθμȣ͂νται καὶ ἐν μέρει ἐφίςανται τὰ χαρακτηριςικὰ γνωρίσματα, τὰ ἀπὸ τῶν ἄλλων τὸ παριςανόμενον πρᾶγμα διαζευγνῦντα, εὔδηλον, ὅτι ἐν παντὶ ὁρισμῷ ὀφείλει ἐπαριθμεῖσθαι γνωρίσματα χαρακτηριςικὰ ἀπὸ τῶν ἄλλων πραγμάτων διαζευγνῦντα τὸ ὁριςόν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΜΘ΄.

### Ἐξ οὗ συνάγεται μὴ δύνασθαι τὰς ἁπάντων τῶν πραγμάτων Ἰδέας, ὅσων χωρητικὸς ἐστὶν ὁ ἀνθρώπινος νοῦς, ὑπὸ τῶν ἀνθρώπων ὁρισμῷ ἐκδηλοῦσθαι.

Δείκν. Ἐπεὶ γὰρ ὁ Ὁρισμὸς Ἔννοιά ἐστι διακεκριμένη λόγῳ ἐκφαινομένη (ΜΖ΄.), τῶν δὲ πραγμάτων ἁπάντων Ἔννοιαι διακεκριμέναι οὐ δύνανται εἶναι (ΠΑ΄.), οὐδ' ἡ τῶν Ἰδεῶν ἀνάλυσις ἐπ' ἄπειρον γίνεσθαι, (ΥΖ΄.) εὔδηλος ἐντεῦθεν ὁ λόγος, δι' ὃν τὰς ἁπάντων τῶν πραγμάτων Ἰδέας, ὅσων ὁ τῶν ἀνθρώπων νοῦς δεκτικὸς τοῖς ἀνθρώποις ἐξηγεῖσθαι δι' ὁρισμοῦ, ἀποφάσκομεν.

„ Ὥσπερ δ' ἐν τῇ τῶν Ἐννοιῶν ἀναλύσει οὐ θέμις προβαίνειν ἐπ' ἄπειρον (ΥΖ΄.)· οὕτως
„ ἐσθ' ὅτε οὐδ' ὁρισμοῦ ὅλως δεῖ, τῆς συγκεχυμένης τοῦ πράγματος ἐξαρκέσης ἡμῖν
„ Ἐννοίας· τὴν ὑπεράγαν οὖν τῶν ἀρχαίων φιλορισίαν οὐκ ἐγκριτέαν ἡγούμεθα. Ἐν
„ οἷς ὑπάρξαι τινὰς παρελάβομεν, οἵγε μηδὲ λαχάνων τὸ ὠνώτερον ἄνευ ὁρισμοῦ
„ ὠνησόμενοι ὁρᾶσθαι ἠξίουν.

## ΡΝ΄.

### Οὐκ ἀπόχρη δὲ τὰ ὁποιαδηποτοῦν χαρακτηριστικὰ γνωρίσματα, ἀπαριθμεῖν ἐν τῷ ὁρισμῷ, ἀλλ' ὅσα περ ἐξαρκεῖ εἰς τὴν τοῦ ὁριζομένου πράγματος ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει διάγνωσιν.

Δείκν. Ἐπεὶ γὰρ ὁ ὁρισμὸς Ἔννοιά ἐστι συμπλήρης (ΡΜΖ΄.), συμπλήρη δὲ τοῦ πράγματος Ἔννοιαν διαμορφοῦμεν αὐτοῖς, ὅτε τὸ πρᾶγμα παριστῶντες, τὰ χαρακτηριστικὰ ἐκείνου γνωρίσματα καθ' ἕκαστον ἐφιστῶμεν, καὶ τὰ δι' ὧν περ τὸ παριστανόμενον πρᾶγμα τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει διαγινώσκεσθαι δύναται, εἰδικῶς ἀπαριθμεῖν ἔχομεν (ΠΗ΄.)· πρόδηλον, ὅτι

ἐν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΤΩΝΙΟΣ Θ. ΠΕΤΡΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ ὁρισμῷ τοιαῦτα χαρακτηριστικὰ γνωρίσματα ἀπαριθμεῖν δεῖ, ὅσα περ ἐξαρκεῖ εἰς τὴν τοῦ ὁριζομένου πράγματος ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει διάγνωσιν.

## ΡΝΑ΄.

Ἐντεῦθεν ἕπεται τὰ ἀπαριθμούμενα γνωρίσματα ἐν τῷ ὁρισμῷ ὀφείλειν ἤτοι ἔχειν. Α΄. Μηδενὶ ἑτέρῳ ἀνήκειν παρὰ τὸ ὁριστόν. Β΄. πᾶσι καθ' ἕνα τοῖς ὑπὸ τῷ ὁριστῷ περιεχομένοις εἴδεσιν, ἢ ἀτόμοις ἐφαρμόττειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΡΝΒ΄.

Πλατύτερος μὲν ὁ Ὁρισμὸς τοῦ ἰδίου Ὁριστοῦ λέγεται τὰ καὶ τοῖς ἄλλοις παρὰ τὸ Ὁριστὸν χαρακτηριστικὰ γνωρίσματα παριστῶν· στενώτερος δὲ, ὁ τὰ μὴ πᾶσι τοῖς ὑπὸ τὸ Ὁριστὸν ἀνήκοντα ἐκδηλῶν.

„ Οὕτω παρ. χάρ. Ὁρίζων τὶς τὸν Θεὸν οὐσίαν εἶναι νοητικὴν, ὁρισμὸν ἕξει πλατύτερον πάντως τοῦ ὁριστοῦ, τῶν καταλεχθέντων γνωρισμάτων ἐπὶ πλειόνων δυναμένων ἐκτείνεσθαι· ἥτε γὰρ ψυχὴ καὶ οἱ Ἄγγελοί εἰσιν οὐσίαι νοητικαί. Ὁρίζων δὲ τὸν ἄνθρωπον ζῶον εἶναι πεπαιδευμένον, ὁρισμὸν στενώτερον ἀποδώσει τοῦ ὁριστοῦ, μὴ πᾶσι τοῖς ὑπὸ τὸ εἶδος τοῦ ἀνθρώπου περιεχομένοις ἀτόμοις ἁρμόττοντα.

## ΡΝΓ΄.

### Ὁ Ὁρισμὸς τοῦ οἰκείου ὁριστοῦ οὐκ ὀφείλει εἶναι πλατύτερος, οὔτε στενώτερος.

Δείκν. Ἐπεὶ γὰρ ἐν τῷ Ὁρισμῷ οὐκ ὀφείλουσι γνωρίσματα καταλέγεσθαι παρὰ τὸ Ὁριστὸν καὶ ἑτέροις ἀνήκοντα (ΡΝΑ΄.)· ὁ δὲ ὁρισμὸς, ἐν ᾧ γνω-

Ε. Δ. τμ. Φ. τ. ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

γνωρίσματα καταλέγονται τὰ παρὰ τὸ Ο῾ριςὸν ἀνήκοντα καὶ ἑτέροις, πλατύτερός ἐςι τῦ οἰκείϐ Ο῾ριςῦ (ΡΝΒ΄.)· ἕπεται, ὅτι ὁ Ο῾ρισμὸς ὔτε πλατύτερος τῦ οἰκείϐ Ο῾ριςῦ, ὔτε ςενώτερος ὀφείλει εἶναι.

Ε῎τι ἐπείπερ ἐν παντὶ Ο῾ρισμῷ Ε῎ννοιαι ὀφείλϐσιν ἀριθμεῖσθαι αἱ πᾶσι τοῖς ὑπὸ τὸ Ο῾ριςὸν περιεχομένοις ἀνήκϐσαι (ΡΝΑ΄.)· Ο῾ δὲ Ο῾ρισμὸς ἐν ᾧ γνωρίσματα ὑποβάλλονται τὰ μὴ πᾶσιν ἀνήκοντα τοῖς ὑπὸ τὸ Ο῾ριςὸν, τῦ Ο῾ριςῦ ςενώτερος λέγεται (ΡΝΒ΄.)· προφανὲς, ὅτι ὁ Ο῾ρισμὸς τῦ οἰκείϐ Ο῾ριςῦ ὐκ ὀφείλει εἶναι ςενώτερος.

## ΡΝΔ΄.

### Ο῾ Ο῾ρισμὸς ὀφείλει ἐξισῦσθαι τῷ Ο῾ριςῷ.

Δεῖκν. Ε᾿πεὶ γὰρ ὁ Ο῾ρισμὸς ὔτε πλατύτερος, ὔτε μὴν ςενώτερος ὀφείλει εἶναι τῦ Ο῾ριςῦ (ΡΝΓ΄.)· λείπεται ἤδη καθομολογεῖν τῷ οἰκείῳ Ο῾ριςῷ ἐξισῦσθαι τὸν Ο῾ρισμόν.

„ Ε῎ξεςι ϗ ὕτω δεῖξαι ταὐτόν· νόει μοι τὸ Ο῾ριςὸν ὥσπερ ὅλον· τὸν δὲ ὁρισμὸν, „ ἤτοι τὴν συμπλοκὴν τῶν χαρακτηριςικῶν γνωρισμάτων τῶν συνιςώντων τὸ ὅλον ὡς „ μέρη. Ε᾿πείπερ ὖν τὰ μέρη πάντα ὁμῦ εἰλημμένα τὸ ὅλον εἰσὶ (κατὰ τὰς ἀρχὰς „ τῆς Ο᾿ντολογίας), τὰ μέρη πάντα ὁμῦ εἰλημμένα ὀφείλει ἶσα εἶναι τῷ ὅλῳ, ἄλλως „ γὰρ ἂν εἴη τὸ ὅλον ἄνισον ἑαυτῷ (ὅπερ ἄτοπον)· Ε῎πεται τὰ χαρακτηριςικὰ „ γνωρίσματα ὡς μέρη τῦ ὁριςῦ ἅμα εἰλημμένα ὀφείλειν εἶναι ἶσα τῷ ὅλῳ, ἤτοι τῷ „ ὁριςῷ. Ταὐτὸν δ᾿ εἰπεῖν τὸν ὁρισμὸν ἐξισῦσθαι τῷ ὁριςῷ, τϐτέςιν ἐπίσης πλατὺν φαίνεσθαι, ὥςπερ τὸ Ο῾ριςόν.

## ΡΝΕ΄.

### Ε᾿ντεῦθεν κατανοεῖς τὸν Ο῾ρισμὸν ὀφείλειν ἀντιςρέφειν τῷ Ο῾ριςῷ.

Δεῖκν. Ε᾿πεὶ γὰρ ὁ Ο῾ρισμὸς ὀφείλει ἐξισῦσθαι τῷ Ο῾ριςῷ καὶ ἑπομένως τὰ χαρακτηριςικὰ γνωρίσματα τὰ καταλεγόμενα ἐν τῷ Ο῾ριςῷ ὀφείλει ἐπίσης πλατέα φαίνεσθαι, ὥσπερ τὸ Ο῾ριςὸν (ΡΝΔ΄.)· Συνεννοεῖς τὰ χαρακ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Τ.ΠΕΤΡΟΥ Κ.Σ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ρακτηριστικὰ γνωρίσματα ἀντὶ τῦ Ὁρισῦ δύνασθαι τεθῆναι, ὡς καὶ τὸ Ὁριςὸν ἀντὶ τῶν χαρακτηριστικῶν γνωρισμάτων. Οὕτω δὲ ὁ Ὁρισμὸς τῷ οἰκείῳ Ὁρισῷ ἀντιςρέφει. ὥσθ᾽ ὕτω τὺς φιλοσοφῦντας ὀρθῶς ἐπιτάττειν, τὸν Ὁρισμὸν τῷ οἰκείῳ Ὁρισῷ ἀντιςρέφειν ὀφείλειν.

„ Οὕτω παρ. χάρ. δύνασαι λέγειν. Πᾶν Πνεῦμα ἐςὶν ὑσία, Νοερὰ, Θελητική· καὶ
„ πᾶσα ὑσία, Νοερὰ, Θελητικὴ ἐςὶ πνεῦμα.

## ΡΝϚ΄.

### Ἐντεῦθεν ἔκδηλον, ὅτι ὁ Ὁρισμὸς καὶ τὸ Ὁριςὸν εἰσὶ τῷόντι τ᾽ αὐτά.

Δείκν. Ἐπεὶ γὰρ ὁ Ὁρισμὸς τῷ Ὁρισῷ ἀντιςρέφειν ὀφείλει (ΡΝΕ΄.), καὶ ἑπομένως τῷ οἰκείῳ Ὁρισῷ μεταλλάττεσθαι, ὥςε τὸν Ὁρισμὸν ἀντὶ τῦ Ὁρισῦ σωζομένης πάσης ἀλλαγῆς τεθῆναι δύνασθαι, δῆλον, ὅτι ὁ Ὁρισμὸς καὶ τὸ Ὁριςὸν ἐςὶν τῷόντι ταυτά· ταυτὰ γὰρ λέγονται εἶναι τὰ δυνάμενα ἀντὶ ἀλλήλων τεθῆναι (κατὰ τὰς ἀρχὰς τῆς Μεταφυσικῆς.)

## ΡΝΖ΄.

### Ὧπερ ὂν ὁ Ὁρισμὸς, τῷ αὐτῷ ἀνήκει πάντως γε καὶ τὸ Ὁριςόν.

Δείκν. Ἐπεὶ γὰρ ὁ Ὁρισμὸς ὁ αὐτός ἐςι τῷ Ὁρισῷ (ΡΝϚ΄.)· δῆλον ὅτι ᾧπερ ὁ Ὁρισμὸς, τῷ αὐτῷ καὶ τὸ Ὁριςὸν ἀνήκειν ὀφείλει, κατὰ τὴν ταὐτολογῦσαν ἀρχήν.

„ Ἐκ τῆς προτάσεως ταύτης καὶ τὺς λοιπὺς τὺς ἐνταῦθα ἀνήκοντας τῶν Φιλοσόφων κα-
„ νόνας κατανοεῖς· ὁτῳδήποτε ἀνήκει τὸ Ὁριςὸν, ἀνήκει τῷ αὐτῷ καὶ ὁ Ὁρισμὸς.
„ ὁτῳδήποτε ὐκ ἀνήκει ὁ Ὁρισμὸς, ὐδὲ τὸ ὁριςόν· ὁτῳδήποτε ὐκ ἀνήκει τὸ Ὁριςὸν,
„ ὐδ᾽ ὁ Ὁρισμός.

ΡΝΗ΄.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΛΟΓΟΣ
Ε.Υ.Δ. ΕΠ.Ε.Α.Ε.Κ. ΙΩΑΝΝΙΝΑ 2006

## ΡΝΗ΄.

### Τῷ Ὁρισμῷ ἐκ ὀφείλεσιν εἰσέρχεσθαι τρόποι ἤτοι συμβεβηκότα.

Δείκν. Οἱ τρόποι ἤτοι τὰ συμβεβηκότα εἰσὶ πάθη, ἤτοι κατηγορέμενα ἐκ ἀεὶ, καὶ ὡσαύτως τοῖς πράγμασιν ἐνυπάρχοντα (κατὰ τὰς ἀρχὰς τῆς Ὀντολογίας), καὶ ἑπομένως οἱ τρόποι, ἤτοι τὰ συμβεβηκότα ἐκ ἐξαρκᾶσιν εἰς τὴν τᾶ πράγματος ἀπὸ τῶν ἄλλων ἐν παντὶ χρόνῳ διάγνωσιν. Ἐπεὶ δὲ ἐν τοῖς Ὁρισμοῖς γνωρίσματα καταλέγεσθαι ὀφείλει, δι᾽ ὧν τὸ Ὁριςὸν ἐν παντὶ χρόνῳ ἀπὸ τῶν ἄλλων διαγινώσκεται (ΡΝ΄.)· κατανοεῖται ἔτι τῷ Ὁρισμῷ ἐκ ὀφείλεσιν εἰσέρχεσθαι τρόποι ἤτοι συμβεβηκότα.

„ Οὕτω παρ. χάρ. Ψευδὴς ἂν εἴη ὁ Ὁρισμὸς, δι᾽ ᾖ ὁ ἄνθρωπος ζῶον πεπαιδευμένον „ ὁρίζοιτο. Τὸ γὰρ εἶναι πεπαιδευμένον τῷ ἀνθρώπῳ συμβέβηκεν, ἐδ᾽ ἀεὶ ὡσαύτως „ αὐτῷ ἡ παιδεία πρόσεςι, ϗ ἑπομένως διὰ τῆς παιδείας ὁ ἄνθρωπος ἀπὸ τῶν ἄλλων „ ἁπάντων ἐν παντὶ χρόνῳ ἐ δύναται διακρίνεσθαι.

## ΡΝΘ΄.

### Ἐξ ἕ ἕπεται, ὅτι ἐν τῷ Ὁρισμῷ τὰ ἐσιώδη, καὶ τὰ προσδιδόμενα πράγματός τινος χρεὼν ἀπαριθμεῖν.

Δείκν. Ἐπεὶ γὰρ ἐν τῷ Ὁρισμῷ τὰ ἀποχρῶντα εἰς διάγνωσιν τᾶ Ὁριςᾶ ἀπὸ τῶν ἄλλων ἐν παντὶ χρόνῳ χρεὼν ἀπαριθμεῖσθαι γνωρίσματα (ΡΝ΄.) Ἕπεται ἐν, ὅτι ἐν τῷ Ὁρισμῷ γνωρίσματα χρεὼν ἐπαριθμεῖσθαι τὰ τῷ Ὁριςῷ ἀεὶ ὡσαύτως ἐνόντα· τὰ δὲ ἀεὶ ὡσαύτως τῷ πράγματι ἐνυπάρχοντα, καὶ τὰ τὸν ἀποχρῶντα λόγον ἐν τῇ τᾶ πράγματος ἐσίᾳ ἔχοντα, προσδιδόμενα καὶ ἐσιώδη καλᾶμεν (κατὰ τὰς Ἀρχὰς τῆς Μεταφ.)· Δῆλον ἄρ᾽ ὅτι ἐν τοῖς ὁρισμοῖς προσδιδόμενα ἢ ἐσιώδη ὀφείλει ἀπαριθμεῖσθαι, ὡς ἂν δι᾽ αὐτῶν ἔχῃ τὸ Ὁριςὸν ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν παντὶ χρόνῳ διαγινώσκεσθαι.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ΡΞ΄.

## ΡΞ'.

### Ἐν τοῖς ὁρισμοῖς ὀφείλομεν ὅροις χρῆσθαι σαφέσι.

Δεικν. Ὁ ὁρισμὸς ἐςὶν Ἰδέα διακεκριμένη τῷ λόγῳ ἐκφαινομένη. (ΡΜΖ'.) Ἐπεὶ δὲ ἡ Ἰδέα διακεκριμένη ἐςὶν, ὅτε τὰ χαρακτηριςικὰ γνωρίσματα σαφῶς ἑαυτοῖς παριςῶμεν (ΟΗ'.)· Ὀφείλεται ἤδη ἐν τοῖς ὁρισμοῖς τὰ χαρακτηριςικὰ γνωρίσματα σαφῶς ἡμῖν παριςᾶν, ἤτοι δύνασθαι ταῦτα ἀλλήλων διαγινώσκειν (ΞΔ'.)· κἀντεῦθεν ἕπεται ἐν τῇ τῶν χαρακτηριςικῶν γνωρισμάτων ἀπαριθμήσει ὅροις χρηςέον εἶναι, οἷςτισι σαφὴς ἀποκρίνεται Ἔννοια· ᾧ δὲ ὅρῳ σαφὴς προσφύεται Ἔννοια, σαφὴς ἐκεῖνος καλεῖται· ἄρα ἐν τοῖς ὁρισμοῖς σαφέσιν ὅροις χρῆσθαι ὀφείλομεν.

## ΡΞΑ'.

### Ἐξ αὐτοῦ τούτου κατανοεῖς τοὺς ὁρισμοὺς οὐκ ὀφείλειν εἶναι ἀσαφεῖς.

## ΡΞΒ'.

### Εἰς τὴν τῶν Ὁρισμῶν σαφήνειαν ὅτι πλεῖςον συμβάλλει τὸ πρότερον ὁρίζεσθαι καὶ ὀρθῶς ἀσφαλίζεσθαι τοὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένους τῶν ὅρων.

Δεικν. Εἰ γὰρ δὴ τοὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένους ὅρους ὁρίσαιο πρότερον, διακεκριμένην περὶ αὐτῶν πάντως Ἰδέαν ἕξεις (ΡΜΖ'.)· καὶ ἑπομένως οὐκ ἂν δύναιντο μὴ καὶ σαφεῖς εἶναι τῶν ὅρων οἱ ὁρισμοί· ὥσθ' οὕτω κατανοεῖσθαι εἰς τὴν τῶν ὁρισμῶν σαφήνειαν ὅτι πλεῖςον συμβάλλειν, εἰ τὸ πρότερον ὁρίζεσθαι καὶ ὀρθῶς ἀσφαλίζεσθαι τοὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένους τῶν ὅρων.

» Τουτὶ δὲ, ὥσπερ τισὶν ἄλλοις, τῇ Συςηματικῇ γοῦν τάξει ὀφείλεται διασώζεσθαι. Οὐ » δὴ μάλιςα πάντων ἐπιτηρήσας ὤφθη ὁ περίπυςος Βόλφιος, ἐν παντὶ τῷ αὐτοῦ



» συςή-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ συςήματι διαθεὶς οὕτω τοὺς ὁρισμούς, ὥσθ' ἕκαςα τὰ ἐν τοῖς ἑπομένοις ὁρισμοῖς γνω-
„ ρίσματα ἀκριβῶς ὁρίζεσθαι ἐν τοῖς πρότερον. Οὕτω παρ. Χαρ. Ὁ Βόλφιος ὁρί-
„ σας τὸν Κόσμον (ἐν τῇ Λατιν. Κοσμολ. §. 48.) εἱρμὸν εἶναι ὄντων πεπερασμένων,
„ τῶν τε ἅμα ὄντων, καὶ τῶν κατὰ διαδοχὴν ἀλλήλοις συνημμένων. Ὁρισμὸν πρὸ τού-
„ του ὤρθη ἀποδεδωκὼς ἐν τῇ Ὀντολογ. §. 837. τοῦ πεπερασμένου, καὶ πρὸ τούτου ἐν
„ τῇ αὐτῇ §. 569. τί τὸ ἅμα ὑπάρχον, καὶ τί τὸ κατὰ διαδοχὴν ἀνεπτύξατο· καὶ
„ τὰ Συνημμένα δὲ ὡρίσατο Κοσμολογ. §. 10. Ὥςε μοι θαυμάζειν ἐν τοῖς μάλιςα
„ ἔπεισιν, ὅτι καὶ ἀσαφείας αἰτιῶνται τινὲς τοὺς κατὰ Βολφίον ὁρισμοὺς, καίτοιγε ἀ-
„ κριβῶς οὕτως ἐν τοῖς πρότερον ἀναπτυσσομένους. Μέχρι δὲ τίνος προχωρητέον ἐν
„ τῷ ὁρίζειν τοὺς ὅρους, καταμαθεῖν ἔξεςιν ἐκ τῶν διαληφθέντων περὶ ἀναλύσεως Ἐν-
„ νοιῶν (ΥΖ.)

## ΡΞΓ΄.

### Ὁ ὁρισμὸς οὐκ ὀφείλει τὸ αὐτὸ ἀναπτύσσειν δι' ἑαυτοῦ.

Δείκν. Ἐπεὶ γὰρ ὁ ὁρισμὸς διακεκριμμένη Ἰδέα ἐςὶ (ΡΜΖ΄.)· ἕπεται τὸν τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ ἀναπτύσσοντα ὁρισμὸν οὐδ' ὅλως εἶν' ὁρισμόν· τοῦ γὰρ αὐτοῦ ἀναπτυσσομένου δι' ἑαυτοῦ, τὰ χαρακτηριςικὰ τοῦ ὁριζομένου γνωρίσματα οὐ καθ' ἕκαςα ἀριθμοῦνται, τὰ γὰρ χαρακτηριςικὰ γνωρίσματα πράγματός τινος τοῦ αὐτοῦ πράγματος διενήνοχε.

„ Παρ. Χαρ. Τῶν Σχολαςικῶν τινὲς ὁρίζοντες τὴν ποσότητα, συμβεβηκὸς, δι' ὃ λέγεταί
„ τι ποσόν· τῷ ὅρῳ ποσὸν τὴν αὐτὴν συνάπτουσιν Ἔννοιαν, ἣν καὶ τῇ ποσότητι ἀ-
„ πονέμουσιν, οὐδ' ὅ, τι οὖν δὲ τῶν χαρακτηριςικῶν γνωρισμάτων, δι' ὧν ἡ ποσότης
„ γινώσκεται, καταλέγονται. τὸ αὐτὸ γὰρ ἐςὶν ὡσανεὶ ἔλεγον, ποσότης ἐςὶν, ὅτε
„ τὸ πρᾶγμα εἴη ποσὸν, τουτέςιν ἡ ποσότης ἐςὶ ποσότης. Σημειώσαιο δ' ἂν ἐν-
„ ταῦθα εἰκότως, τὸν ταυτολογοῦντα ὁρισμὸν ὀρθῶς ἐνίοτε προσλαμβάνεσθαι. Ὅτε
„ γὰρ ὁ συγκεκριμένος ὅρος ἐν τοῖς πρότερον ὡρισμένος ᾖ, καὶ ἐν τοῖς ἑπομένοις τὸν
„ ἀφῃρημένον ὅρον ὁρίσειας, ὥςε τὸν συγκεκριμένον ὅρον ἀπὸ τοῦ ἀφῃρημένου καταβαί-
„ νοντα, ἐν τῷ τοῦ ἀφῃρημένου προσλαμβάνεσθαι ὁρισμῷ, τότε δὴ οὐδ' ἂν ὅλως ἁ-
„ μάρτοις, οἷον ὁριζόμενος σοφὸν εἶναι τὸν αἱρούμενον πάντως τὸ βέλτιςον, καὶ τῷ ὁ-
„ ρισμῷ τούτῳ ὑποσυνάπτων τονδὶ, σοφία ἐςὶ τελειότης νοὸς, καθ' ἥν τις ὑπάρχει
„ σοφὸς· τὸν ὁρισμὸν δὲ τοῦτον, καίτοι ταυτολογοῦντα, ἐν Συςηματικῇ τάξει δύνασαι
„ προσλαβεῖν. Τὸ γὰρ αὐτὸ ἐςὶ ὡσανεὶ ἔλεγες, Σοφία ἐςὶ τελειότης νοὸς, καθ'
„ ἥν τις αἱρεῖται τὸ βέλτιςον. Ὁ Βόλφιος ἐν τῇ Λατιν. Ὀντολογ. §. 496. τὸ ἀληθὲς ὂν

„ ὡρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

„ ὡρίσατο, τοιȣ͂τον ὑπάρχειν ὂν, ἐν ᾧ ἀλήθεια δίδοται. Τὸν ὁρισμὸν δὲ τȣ͂τον,
„ πᾶς τις ἂν εἶχεν ἀποῤῥαπίζεσθαι, ἀμὴ ἐν τῷ προηγημένῳ παραγρ. ὡρισο ἡ ἀ-
„ λήθεια (ἡ Μεταφ. δηλ.) Τάξις ἴσα τῶν ἀνηκόντων τῷ ὄντι.

## ΡΞΔ'.

### Οὐκ ἀγνοεῖς ἐντεῦθεν τȣ̀ς διὰ συνωνύμων ὁρισμȣ̀ς τοῖς ἀδοκίμοις ἐγκαταλέγεσθαι.

Δεικν. Ο῾ γὰρ διὰ συνωνύμων ὁρισμȣ̀ς ἐξυφαίνων, ὅρȣς πάντως γε προσλαμβάνει τὴν αὐτὴν τῷ ὁριςῷ σημασίαν ἔχοντας (ΡΛΖ'.)· καὶ ἑπομένως οἱ συνωνυμικοὶ ὁρισμοὶ τὸ αὐτὸ διὰ τȣ͂ αὐτȣ͂ ἀναπτύσσȣσιν. Ε'πεὶ δ' ἐν τῷ ὁρισμῷ τὸ αὐτὸ δι' ἑαυτȣ͂ ἀναπτύσσεσθαι ȣ̓κ ὀφείλεται (ΡΞΓ'.)· καταvοεῖται ἄρα τȣ̀ς διὰ συνωνύμων ὁρισμȣ̀ς ȣ̓κ ἐγκρίνεσθαι.

„ Παρ. χάρ. ὁ ὁρισμὸς τȣ͂ ἀπείρȣ ὁ λέγων, ὅτι ἐςὶ τὸ μὴ ἔχον πέρας, συνωνυμικός
„ ἐςί· τὸ γὰρ ἄπειρον εἶναι, ϗ τὸ περάτων ἀμοιρεῖν συνώνυμα ὑπάρχει γραμματικά.

## ΡΞΕ'.

### Ε'ξ ȣ͂ ἔτι καταφανὲς τὸ ὁριςὸν ἐν τῷ ὁρισμῷ ȣ̓κ ἐσθ' ὅπως παραλαμβάνεσθαι

Δεικν. Εἰ γὰρ τὸ Ο῾ριςὸν προσληφθῇ ἐν τῷ ὁρισμῷ, τὸ Ο῾ριςὸν ἀναπτυχθήσηται διὰ τȣ͂ Ο῾ριςȣ͂, καὶ ἑπομένως τὸ αὐτὸ δι' ἑαυτȣ͂ ὁρισθήσεται. Ε'πειδὴ δὲ ὁ τὸ αὐτὸ δι' ἑαυτȣ͂ ἀναπτύσσων ὁρισμὸς, ȣ̓δ' ὅλως ἐςὶν ὁρισμὸς, ȣ̓́τ' ἐγκρίνεται (ΡΞΓ'.)· Κατάδηλον, ὅτι τὸ Ο῾ριςὸν ἐν τῷ ὁρισμῷ ȣ̓κ ὀφείλει προσλαμβάνεσθαι.



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΚΟΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Ε.Π. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΞϛ΄.

Παραφυλακτέον δὲ μήποτε οἱ ἐν τῷ ὁρισμῷ προσλαμβανόμενοι ὅροι ὁρίζοιντο αὖθις διὰ τοῦ Ὁριστοῦ.

Δείκν. Διὰ τῶν ἐν τῷ Ὁρισμῷ προσλαμβανομένων ὅρων, τὰ χαρακτηριστικὰ γνωρίσματα ὀφείλουσι καταλέγεσθαι τὰ ἀποχρῶντα εἰς τὴν τοῦ Ὁριστοῦ ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιστάσει διάγνωσιν (ΡΝ΄.) καὶ ἑπομένως οἱ ἐν τῷ Ὁρισμῷ ὅροι πληρέστερον καὶ σαφέστερον τὸ Ὁριστὸν ἀναπτύσσειν ὀφείλουσιν. Ἐὰν οὖν τοὺς ἐν τῷ Ὁρισμῷ λαμβανομένους, καὶ τὸ Ὁριστὸν διακεκριμένως ἀναπτύσσειν ὀφείλοντας ὅρους διὰ τοῦ Ὁριστοῦ ἀναπτύξειας, αὖθις τὸ Ὁριστὸν πάντως ἀναπτύξεις διὰ τοῦ Ὁριστοῦ, καὶ ἑπομένως Ὁρισμὸν ἀποδώσεις ταυτολογοῦντα. Ἐπεὶ δὲ ὁ τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ ἀναπτύσσων Ὁρισμὸς ἀπατηλός ἐστι, μᾶλλον δὲ οὐδεὶς καὶ ἀδόκιμος (ΡΞΓ΄.)· δῆλος ἐντεῦθεν ὁ λόγος, δι᾽ ὃν προφυλακτέον, μήποτε οἱ ἐν τῷ Ὁρισμῷ προσλαμβανόμενοι ὅροι ὁρίζοιντο αὖθις διὰ τοῦ Ὁριστοῦ.

„ Παρ. χάρ. ὁ ὁρίζων τὴν Σοφίαν ἕξιν εἶναι τοῦ αἱρεῖσθαι τὸ βέλτιστον, καὶ τὸ αἱρεῖσθαι
„ τὸ βέλτιστον ἀναπτύσσων ἤτοι, οὐδὲν ἄλλο εἶναι, εἰμὴ τὸ διακεῖσθαι σοφῶς, οὗτος ἤδη
„ τὸν κανόνα παραβαίνων τουτονὶ ἁμαρτήσει· ὁ γὰρ τῆς Σοφίας ἀποδοθεὶς Ὁρισμὸς
„ τῷόντι γε οὕτως ἔχει. Σοφία ἐστὶν ἕξις τοῦ σοφῶς διακεῖσθαι. Ἰδὲ ὁ ταυτολογῶν
„ Ὁρισμός.

## ΡΞΖ΄.

Ὅτε ὁ ὅρος ὁ ἐν τῷ Ὁρισμῷ λαμβανόμενος διὰ τοῦ Ὁριστοῦ ἀναπτύσσεται, ἁμαρτάνειν λεγόμεθα κύκλον ἐν τῷ ὁρίζειν· ἐντεῦθεν ὁ Βόλφιος κύκλον ἐν τῷ ὁρίζειν εἶναι φησὶ, κακίαν ἢ πλημμέλημα ἐν τῷ ὁρισμῷ προσλαμβάνον ὅρον, οὗτινος ἐν τῷ Ὁρισμῷ τὸ Ὁριστὸν προσλαμβάνεται.

„ Παράδειγμα τοῦ πλημμελῶδους κύκλου ἐν τῇ ἀνωτέρω ὑποσημειώσει ἐστὶν ἰδεῖν. Τοῦ-
„ δε χάριν τὸ πλημμέλημα τοῦτο κύκλος ἀκούει, λόγος ἐστὶ προφανὴς, καὶ ἐν τῇ ἀ-
„ ναπτύξει ἀποδειχθήσεταί μοι πλατύτερον.

ΡΞΗ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ζ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΞΗ.

**Ο ἐν τῷ ὁρίζειν κύκλος φευκτέος ὡς οἷόν τε.**

Δείκν. Ἐπεὶ γὰρ φυλακτέον τοὺς ἐν τῷ Ὁρισμῷ ὅρους διὰ τοῦ Ὁρισμοῦ ἀναπτύσσειν (ΡΞϛ.)· Ὅτε δὲ τοὺς ἐν τῷ Ὁρισμῷ ὅρους διὰ τοῦ Ὁρισμοῦ ἀναπτύσσομεν, Κύκλον ἁμαρτάνομεν (ΡΞΖ.)· δῆλον, ὅτι τὸν ἐν τῷ ὁρίζειν κύκλον φυλακτέον ὡς οἷόν τε.

## ΡΞΘ.

**Ἐν τοῖς Ὁρισμοῖς οὐκ ὀφείλομεν χρῆσθαι ὅροις πλανωμένοις, ἀορίστοις καὶ καταχρηστικοῖς, εἴτ᾽ οὖν μεταφορικοῖς, ἀλλὰ μόνον τοῖς κυρίοις καὶ ὡρισμένοις.**

Δείκν. Ἐπείπερ ὁ Φιλόσοφος ἐν παντὶ ὅλως λόγῳ ὅροις Κυρίοις χρῆσθαι ὀφείλει (ΡΜΑ.), καὶ Ὡρισμένοις (ΡΛΕ.), καὶ τοὺς μεταφορικοὺς καὶ πλανωμένους ἀποδιοπομπεῖσθαι (ἐγγύτ.)· Πολλῷ μᾶλλον ἐν τῷ ὁρίζειν χρηστέον ὅροις ἀπλανέσι τε καὶ κυρίοις, τῶν καταχρηστικῶν καὶ πλανωμένων ἐκκλειομένων. Ἐν γὰρ τῇ τῶν Ὁρισμῶν κατασκευῇ ἀφορῶμεν εἰς τὸ καὶ ἄλλοις σημῆναι σθαι ὅπως τὸ Ὁριστὸν ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει ἔχῃ διαγινώσκεσθαι (ΡΝ.)· Ἀπαιτεῖται οὖν ὁριζομένους ἡμᾶς, καὶ τοῖς ἄλλοις εἶναι μὴ δυσξυνέτους. Ἐπεὶ δὲ μόλις, ἢ οὐδ᾽ ὅλως τοῖς ἄλλοις ἐσμὲν εὐξύνετοι, καταχρηστικοῖς καὶ πλανωμένοις τοῖς ὅροις χρώμενοι (ΡΜΑ.), κατανοεῖται, ὅτι ἐν τοῖς Ὁρισμοῖς χρῆσθαι δεῖ κυρίοις καὶ ὡρισμένοις ὅροις, πλανωμένους δὲ καὶ ἀορίστους ἀποβάλλειν.

„ Ἐὰν Μεταφορικὸς, ἤτοι καταχρηστικὸς ὅρος ἐν ὁρισμῷ τινὶ προσλαμβάνηται, ὀφείλει
„ Α. ὁρισμῷ ἀναπτυχθῆναι, καὶ τῆς ὁμωνυμίας ἀπαλλαχθῆναι. Παρ. χάρ. ὡρίσατο
„ τὸν νόμον ὁ Βόλφιος, κανόνα εἶναι, καθ᾽ ὃν αἱ ἡμέτεραι ἐνέργειαι διαμορφοῦσθαι
„ ὀφείλουσιν. Ἐνταῦθα δὴ μεταφορικῇ φωνῇ τῇ τοῦ Κανόνος ἐχρήσατο Βόλφιος, καὶ
„ γε εἰκότως· ἐν γὰρ τῷ αὐτοῦ συστήματι προώρισο ὁ κανὼν, πρότασις διορίζουσα τὰς ἡ-
„ μετέρας Ἐνεργείας, τουτέστι τί ποιητέον ἀγορεύουσα, ἢ τί φευκτέον.



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΑΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΟ'.

**Ἐν τῇ εἰδοποιήσει τῶν Ὁρισμῶν, ὅρες προσλαμβάνειν κατὰ τὴν ἀναληφθεῖσαν σημασίαν ὀφείλομεν.**

Δείκν. Ἐπείπερ ὁ Φιλόσοφος ἐκτὸς ἀνάγκης τῆς τῦ λέγειν χρήσεως, καὶ τῆς ἀναληφθείσης τῶν λόγων σημασίας ὐκ ὀφείλειν ἀποχωρεῖν (ΡΜΕ'.)· καὶ τὺς ὁρισμὺς ἄρα ἀποδιδότω, ὅρυς προσλαμβάνων τῇ τῦ λέγειν χρήσει συνᾴδοντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## ΡΟΑ'.

**Ἀφεκτέον ἐν τοῖς Ὁρισμοῖς τῶν ἀποφατικῶν ὅρων, ταὐτὸν δ' εἰπεῖν, ὁ ἀποφατικὸς Ὁρισμὸς ὐκ ἀνεκτός.**

Δείκν. Ἐπεὶ γὰρ ἐν τοῖς ὁρισμοῖς σαφέςερον ἐκφαίνειν τὺς χαρακτῆρας ὀφείλομεν, δι' ὧν περ τὸ Ὁρισὸν τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιςάσει διαγινώσκεται (ΡΝ'.)· διὰ τῦ Ὁρισμῦ ἄρα ὀφείλομεν ἐξαγγέλειν, ὅ, τι τὸ πρᾶγμα ἐςίν. Ἀποφατικοῖς δὲ χρώμενοι, ὐχ ὅ, τι ἐςὶν, ἀλλ' ὅ, τι ὐκ ἔςι διατεφῦμεν· δῆλον ἄρ', ὅτι τὸ τῦ Ὁρισμῦ τέλος ἄπεςιν ἐν τοῖς Ἀποφατικοῖς Ὁρισμοῖς, καὶ ἑπομένως τὺς Ἀποφατικὺς Ὁρισμὺς, Ὁρισμὺς ὐχ ὑποληπτέον.

„ Συμβαίνει δ' ὡς τὰ πολλὰ διὰ τὴν τῦ ἡμετέρυ νοὸς ἀσθένειαν τὰ Θετικὰ τῦ πράγματος προσδιδόμενα ὐ δύνασθαι διορᾷν· ἔνθεντοι οἱ Ἀποφατικοὶ Ὁρισμοὶ ἐνίοτε εἰσὶν ἀνεκτοί. Προσεκτέον ὅμως ὐχ ὡς ἔτυχε χρῆσθαι τοῖς Ἀποφατικοῖς Ὁρισμοῖς, ἀλλ' ὅτε τὰ ἀναπτυσσόμενα χαρακτηριςικὰ γνωρίσματα Ἐννοιῶν εἰσὶν ἀντιφατικῶς ϗ ἀμέσως ἀντικειμένων, ὧν μεταξὺ τρίτον προληφθῆναι ὐκ ἔξεςιν. Ἐν τύτοις γὰρ θατέρυ τῶν ἀντιφατικῶς ἀντικειμένων ἐξηγυμένυ, τῷ ἑτέρῳ οἱ ἀντιφατικῶς ἀντικείμενοι ἀπονέμονται χαρακτῆρες.

„ Οὕτω παρ. χάρ. Τὸ σύνθετον, ϗ τὸ Ἁπλῦν ὂν ἀλλήλοις εἰσὶν ἀντικείμενα, ὥςε μεταξὺ τύτων τρίτον ὐ δίδοσθαι. Ἐὰν ὖν τὸ σύνθετον ὂν ἀναπτύξειας λέγων, συγκεῖσθαι μέρεσιν ἀλλήλων διακεκριμένοις, ϗ πρὸς ἄλληλα συνημμένοις, δυνήσῃ ὁρίσασθαι, τὸ Ἁπλῦν διὰ τῦ μὴ ἔχοντος μέρη. Τῦτο δὲ ἐν ὅροις ὐκ Ἀντιφατικοῖς

„ γε-

Ε.Υ.Α. ΠΙ. Κ. ΕΠ. ΙΩΑΝΝΙΝΑ 2006

„ γινέσθαι ἐκ οἷόν τε τῶν ἀπεμφαινόντων· ἢ γὰρ ἐςὶν ὁρίζειν τὸν ἄνθρωπον ἐκ Α'γ-
„ γελον λέγοντες, μεταξὺ τέτε κἀκείνου πλείςων ὅσων ἔτι εὑρισκομένων.

## ΡΟΒ'.

### Ε'ν τῷ ἀκριβεῖ Ο'ρισμῷ γένος καὶ εἰδοποιὸς διαφορὰ ἀπαιτεῖται.

Δείκν. Ε'ν παντὶ Ο'ρισμῷ χαρακτῆρες ἀριθμῦνται οἱ ὡρισμένοι μόνοι τοῖς εἴδεσι τῶν πραγμάτων ἀνήκοντες, καὶ ἑπομένως σημαίνειν ὀφείλοντες, ὅπως ἂν ἕτερον εἶδος ἑτέρε εἴη διάφορον. Ε'πεὶ δὲ μεταξὺ τέτων τῶν χαρακτήρων ἀεί τινες εὑρίσκονται κοινοὶ ὄντες τῷ Ο'ρισμῷ σὺν τοῖς ἄλλοις εἴδεσι, καὶ ἑπομένως τὴν τῶν εἰδῶν ἐμφαίνεσιν ὁμοιότητα· Εὔδηλον ὅτι προσδιδόμενά τινα ἐν τῷ Ο'ρισμῷ καταλεγόμενα τὰ γένος ἐμφαίνεσιν· (ΡΖ'.) Ε'πεὶ δὲ καὶ ἕτεροι χαρακτῆρες ὀφείλεσι προσλαμβάνεσθαι, οἷς τισι τὸ ὁριζόμενον πρᾶγμα, ὥσπερ εἶδος πάντων τῶν ἄλλων εἰδῶν διακρίνεται· (ΡΝ'.) Πρόδηλον, ὅτι τὸν Ο'ρισμὸν τὸ γένος, καὶ ἡ εἰδοποιὸς διαφορὰ ὀφείλει συνιςᾷν (ΡΙΖ'.).

## ΡΟΓ'.

Ο' Ο'ρισμὸς τοῖς τε πάλαι καὶ τοῖς νεωτέροις τῶν Φιλοσόφων εἰς τὸν ὀνοματώδη καὶ τὸν τε πράγματος διαιρεῖται. Τῇ αὐτῇ μὲν ἐν κλήσει οἵτε πάλαι καὶ οἱ νεώτεροι κέχρηνται. Τὸ δὲ νοέμενον διὰ τῆς τε ὀνοματώδες καὶ τῆς τε πραγματιώδες κλήσεως τοῖς ἀρχαίοις πρὸς τὲς νεωτέρες διάφορον.

## ΡΟΔ'.

Διὰ τε Ο'νοματώδες Ο'ρισμε ἐκεῖνον τὸν Ο'ρισμὸν ἐννοεμεν, δι' ε τὰ γνωρίσματα, εἴτεν προσδιδόμενα ἀριθμῦνται τὰ ἀποχρῶντα εἰς τὴν τε Ο'ριςε ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιςάσει διάγνωσιν.

„ Οἱ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Οἱ Ἀριστοτελικοὶ διὰ τῶν ὀνοματωδῶν ὁρισμῶν τὰς γραμματικὰς ἐννοοῦσι τῶν φωνῶν „ ἀναπτύξεις. Εἰς τούτους ἀνέφερον Α΄. τὴν Ἐτυμολογίαν, δι' ἧς ἡ ἀρχὴ καὶ „ αἰτία τῆς ὁριθησομένης ἐπιζητοῦται φωνῆς. Β΄. τὴν Συνωνυμίαν, δι' ἧσπερ ἕτεραι „ ταυτοσήμαντοι λέξεις προσάγονται. Γ΄. τὴν Ὁμωνυμίαν τὴν πολλαπλασίαν τῆς φω„νῆς σημασίαν ἐπιφέρουσαν. Ὁ τῶν Ἀρχαίων Ὀνοματώδης Ὁρισμὸς, ὁ καὶ Ὀνοματολογία „ καλούμενος, ἐσαεὶ ἀπεκρίνετο τῇ ἐρωτήσει, τί ἡ λέξις σημαίνει; ὁ δὲ τοῦ πράγματος „ κατ' ἐκείνους ὁρισμὸς αὐτὸ τὸ πρᾶγμα παρίστη, καὶ ἑπομένως ἀπεκρίνετο τῇ ἐρωτή„σει, τί τὸ πρᾶγμα ἐστίν. Ἡμεῖς δὲ τὸν τοιοῦτον τοῦ ὀνόματος Ὁρισμὸν, ἤτοι τὴν „ τῶν φωνῶν ἀνάπτυξιν τοῖς γραμματικοῖς παραλείπομεν, ἐν τῇ τῶν ὀνοματωδῶν Ὁρισ„μῶν ἀποδόσει γνωρίσματα ἀπαριθμεῖν τὴν τοῦ Ὁριστοῦ ὅρου σημασίαν διατρανοῦντα, „ τοῦ Φιλοσόφου ὀφείλοντος. Οὕτω παρ. χάρ. Τοῦ Πνεύματος ὀνοματώδης Ὁρισ„μός ἐστιν ὁ τὴν τοῦ Πνεύματος λέξιν οὕτωσὶ διορίζων, ὥστε οὐδὲν ἄλλο δι' αὐτῆς „ ἐννοεῖσθαι, εἰμὴ οὐσίαν νοερὰν καὶ Θελητικήν.

## ΡΟΕ΄.

Ὁρισμὸς τοῦ πράγματος παρὰ τοῖς νεωτέροις ἐστὶν Ἔννοια διακεκριμένη τὴν τοῦ Ὁριστοῦ ἐκφαίνουσα γένεσιν, ἤτοι τὸν τρόπον καθ' ὃν ἔχει τὸ πρᾶγμα εἰδοποιεῖσθαι, ἢ γίνεσθαι. Ὁ Βόλφιος ὡρίσατο αὐτὸν οὕτως: ὁ ὁρισμὸς τοῦ πράγματος ἐστὶν ὁ διαφαίνων τὸν τρόπον, καθ' ὃν δύναταί τι γενέσθαι. Ὅρα Λογικ. Λατιν. §. 194.

„ Οὕτω παρ. χάρ. ὁ Βόλφιος Ὁρισμὸν πραγματιώδη τῆς λύπης ἀποδίδωσιν ἐν τῇ Λατιν. Ἐμ„πειρικῇ Ψυχολογίᾳ §. 470. ὁριζόμενος αὐτὴν πάθος ἡμῖν ἐγειρόμενον ἐκ τῆς τοῦ παρόντος „ πράγματος δόξης συγκεχυμένως ἡμῖν ὡς κακοῦ τινὸς οὐ μικροῦ παριστανομένου. Ἐν τούτῳ „ γὰρ τῷ Ὁρισμῷ ἐκτίθεται, ὅπως ἡμῖν ἡ λύπη γεννᾶται, καὶ ἑπομένως τὸν τρόπον ἀνα„πτύσσει, καθ' ὃν ἐν ἡμῖν ἡ λύπη δύναται γίνεσθαι. Ὁ τοῦ πράγματος Ὁρισμὸς Γε„νητικὸς ἀκούει παρά τισιν, ὡς τὴν τοῦ πράγματος γένεσιν, καὶ τὰς αἰτίας ἐμφαίνων.

## ΡΟϚ΄.

### Οἱ ὀνοματώδεις Ὁρισμοὶ εἰσὶ κατ' ἀρέσκειαν.

Δεικν. Ἐν τῷ ὀνοματώδει Ὁρισμῷ τὰ προσδιδόμενα ἀριθμοῦνται τὰ τὸ Ὁριστὸν ἀπὸ πάντων τῶν ἄλλων ἐν ἁπάσῃ περιστάσει διαζευγνῦντα (ΡΝ΄.)· Ἐπεὶ δὲ ἐν ἑνὶ πράγματι πλείω δίδονται προσδιδόμενα (κατὰ τὰς Μεταφυσικὰς ἀρχὰς)· εὔδηλον, ὅτι τοὺς ὀνοματώδεις Ὁρισμοὺς δυνατὸν ἀλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἄλλως ἄλλοις διαμορφοῦσθαι, καὶ ἑπομένως κατ' ἀρέσκειαν γίνεσθαι, τ' αὐτὸν δ' εἰπεῖν, ἐφ' ἡμῖν εἶναι τὸ προλαμβάνειν τῶν πολλῶν προσδιδομένων ὁποιονοῦν.

„ Δύναταί τις ἄλλο καὶ ἄλλο τοῦ Ὁριστοῦ προσδιδόμενον ἀπαριθμεῖν ἐν τῷ Ὁρισμῷ, οὐ μόνον „ τὸ καταλεγόμενον προσδιδόμενον Α΄. Ἀπόχρη εἰς τὴν τοῦ ὁριζομένου ἀπὸ τῶν ἄλλων „ διακρίσιν· Β΄. Ἐὰν ᾖ προσδιδόμενον τὸ ἐξ οὗ τὰ λοιπὰ τὰ τῷ Ὁριστῷ ἀνήκοντα ὀρθῇ „ καὶ κατὰ κανόνας ἐπιφορᾷ παράγεσθαι δύναται. Οὐκ ἄρα πλημμελοῦντα καὶ ὀλισθαί- „ νοντα ὑπολη πτέον σοι παραυτίκα τὸν ἕτερον, μὴ τὸν αὐτόν σοι Ὁρισμὸν ἀπο- „ διδόντα τὸν τοῦ ὀνόματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΡΟΖ΄.

Ἐκ τῆς τοῦ ὀνοματώδους Ὁρισμοῦ φύσεως πρόδηλον, ὅτι οὐ πάντα τὰ προσδιδόμενα καὶ τοὺς χαρακτῆρας τοὺς τῷ Ὁριζομένῳ ἀνήκοντας ἀπαριθμεῖσθαι χρεὼν, μόνον ἀριθμουμένων τῶν κατηγορημένων, ὅσα γε ἀπόχρη εἰς τὴν τοῦ Ὁριστοῦ ἀπὸ τῶν ἄλλων διάγνωσιν, καὶ ἐξ ὧν τὰ λοιπὰ παράγεσθαι δύναται.

„ Φυλακτέον δὲ μήποτε ὑπολάβωμέν τινα πάντα τὰ τοῦ πράγματος προσδιδόμενα ἀρνεῖ- „ σθαι, ἢ ἐν ἀμφιβόλῳ ἔχειν, ἐν τῷ Ὁρισμῷ ταῦτα μὴ ἀριθμοῦντα. Τὰς κατὰ τοῦ Βολφίου „ ἀμφισβητήσεις ἀναγινώσκων, συνεχῶς ὁρῶ γινόμενον τοιοῦτον ἁμάρτημα· οὕτω, παρ- „ χὰρ τοῦ Βολφίου ὁρίζοντος τὴν Ψυχὴν οὐσίαν εἶναι δύναμιν ἔχουσαν παραστατικὴν τοῦ „ παντὸς κατὰ τὴν θέσιν τοῦ ὀργανικοῦ σώματος· πολεμεῖσθαι τὸν Ὁρισμὸν τοῦτον ἐξ „ αἰτίας τοιαύτης μέμνημαι, ὅτι οὐδεμία μνήμη τῆς ἐλευθερίας ἐγένετο, τὸ τῆς Ψυ- „ χῆς ἐλεύθερον μὴ προσδέχεσθαι ὑπολαμβανόντων τινῶν τὸν Βόλφιον· πλεῖω περὶ „ τούτων ἐν τῇ ἀναπτύξει.

## ΡΟΗ΄.

Ἐκ τούτων ἔχεις κατανοεῖν Α΄. Τὰ πεπερασμένα πάντα πραγματικῶς ἐξεῖναι ὁρίζεσθαι ὡς ὑποκείμενα γενέσει, ἣν ἀνιχνεύειν οὐκ ἔστιν ἀδύνατον. Β΄. Πραγματικὸν Ὁρισμὸν τοῦ Θεοῦ δοθῆναι μὴ δύνασθαι. Γ΄. Εἰς τὴν ἀπόδοσιν τοῦ πραγματικοῦ Ὁρισμοῦ ἀπαιτεῖσθαι τὸ τὰς αἰτίας ἐρευνᾶν τοῦ ἀντικει-



Ε.Ξ. Πέτσιος κ.τ.π.
ΙΩΑΝΝΙΝΑ 2006

μένου, καὶ ὅ, τι ποτὲ συμβάλλεται τούτων ἑκάστη εἰς παραγωγὴν τινὸς διορῶν. Δ΄. Ἐντεῦθεν δῆλον, τί δήποτε τῶν πλειόνων πραγματικοὺς Ὁρισμοὺς οὐκ ἔχομεν· ἀγνοοῦντες γὰρ τούτων τὰς αἰτίας καὶ τὴν γένεσιν, οὐδὲν θαυμαστὸν Ὁρισμῶν τῶν τοῦ πράγματος ἀπορεῖν.

## ΡΟΘ΄.

Τοῦ Ὁρισμοῦ ἡ διαγραφὴ διενήνοχεν· ὥσπερ γὰρ ἐν τῷ Ὁρισμῷ ὀφείλει ἀριθμεῖσθαι τὰ εἰς τὴν τοῦ πράγματος ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιστάσει διάκρισιν ἀποχρῶντα γνωρίσματα (ΡΝ΄.)· οὕτως ἐκ τοῦ ἐναντίου, ἐν τῇ διαγραφῇ γνωρίσματα προσλαμβάνεσθαι τῷ διαγραφομένῳ οὐκ ἀεὶ ὡσαύτως, ἀλλ᾽ ἐπὶ χρόνον ἀνήκοντα, ὥσθ᾽ οὕτω τὴν διαγραφὴν εἶναι Ἔννοιαν τοῦ πράγματος διακεκριμένην ἐλλιπῇ λόγῳ ἐκφαινομένην.

„ Ἐὰν εἴπω παρ. χάρ. τὸ μελανοδοχεῖον ἐστὶ σκευάριον ἐκ ξύλου κείμενον ἐπὶ τραπέζης,
„ μέλαν ὑγρὸν περιέχον, εἰς γραμμῶν καὶ γραμμάτων ἀγωγὴν ἐπιτήδειον, διαγράφω οὕτω τὸ μελανοδοχεῖον. Οὐ γὰρ ἀεὶ ὡσαύτως αὐτῷ ἀνήκει ταυτὶ τὰ γνωρίσματα· ἡ μὲν οὖν διαγραφὴ τῶν ἀτόμων ἐστί, τὰ δὲ ὁριζόμενα ἀφῃρημένα ἐστί, καὶ τὰ μάλιστα ἐν εἰδῶν κλάσει συνίσταντι.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006